## HERODOTUS, HISTORIES, 2.116.1-2.119.1 (BARBOUR P. 96.10-98.2)

116. [1] Ἑλένης μὲν ταύτην ἄπιξιν
παρὰ Πρωτέα
ἔλεγον οἱ ἱρέες
γενέσθαι·

δοκέει δέ μοι
καὶ Ὅμηρος
τὸν λόγον τοῦτον πυθέσθαι·
ἀλλ᾽ οὐ γὰρ ὁμοίως
ἐς τὴν ἐποποιίην
εὐπρεπὴς ἦν
τῷ ἑτέρῳ τῷ περ ἐχρήσατο,
ἑκὼν μετῆκε αὐτόν,
δηλώσας ὡς
καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον·

[2] δῆλον δὲ κατὰ [γὰρ] ἐποίησε
ἐν Ἰλιάδι
(καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωυτόν)
πλάνην τὴν Ἀλεξάνδρου,
ὡς ἀπηνείχθη ἄγων Ἑλένην
τῇ τε δὴ ἄλλῃ πλαζόμενος
καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο.

[3] ἐπιμέμνηται δὲ αὐτοῦ
ἐν Διομήδεος ἀριστείῃ·
λέγει δὲ τὰ ἔπεα ὧδε· (Hom. Il. 6, 289-292)

ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλοι,
ἔργα γυναικῶν / Σιδονίων,
τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν,
ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν
ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

***Sections 4-5 omitted in Barbour***

[4] ἐπιμέμνηται δὲ
καὶ ἐν Ὀδυσσείῃ
ἐν τοῖσιδε τοῖσι ἔπεσι· (Hom. Od. 4, 227-230)

τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλά,
τά οἱ Πολύδαμνα πόρεν
Θῶνος παράκοιτις Αἰγυπτίη,
τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα φάρμακα,
πολλὰ μὲν ἐσθλὰ μεμιγμένα,
πολλὰ δὲ λυγρά.

[5] καὶ τάδε ἕτερα
πρὸς Τηλέμαχον
Μενέλεως λέγει· (Hom. Od. 4, 351-352)

Αἰγύπτῳ μ᾽ ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον,
ἐπεὶ οὔ σφιν ἔρεξα τεληέσσας ἑκατόμβας.

[6] ἐν τούτοισι τοῖσι ἔπεσι
δηλοῖ ὅτι
ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου
πλάνην·
ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ,
οἱ δὲ Φοίνικες,
τῶν ἐστὶ ἡ Σιδών,
ἐν τῇ Συρίῃ οἰκέουσι.

117. [1] κατὰ ταῦτα δὲ τὰ ἔπεα
καὶ τόδε τὸ χωρίον
οὐκ ἥκιστα ἀλλὰ μάλιστα
δηλοῖ ὅτι
οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεα ἐστὶ
ἀλλ᾽ ἄλλου τινός.

ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι
εἴρηται ὡς
τριταῖος ἐκ Σπάρτης
Ἀλέξανδρος ἀπίκετο
ἐς τὸ Ἴλιον
ἄγων Ἑλένην,
εὐαέι τε πνεύματι χρησάμενος
καὶ θαλάσσῃ λείῃ·

ἐν δὲ Ἰλιάδι
λέγει ὡς
ἐπλάζετο ἄγων αὐτήν.
Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα
χαιρέτω.

118. [1] εἰρομένου δέ μευ τοὺς ἱρέας
εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες
τὰ περὶ Ἴλιον γενέσθαι
ἢ οὔ,
ἔφασαν πρὸς ταῦτα τάδε,
ἱστορίῃσι φάμενοι εἰδέναι
παρ᾽ αὐτοῦ Μενέλεω.

[2] ἐλθεῖν μὲν γὰρ
μετὰ τὴν Ἑλένης ἁρπαγὴν
ἐς τὴν Τευκρίδα γῆν
Ἑλλήνων στρατιὴν πολλὴν
βοηθεῦσαν Μενέλεῳ,
ἐκβᾶσαν δὲ
ἐς γῆν
καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν
πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους,
σὺν δέ σφι
ἰέναι καὶ αὐτὸν Μενέλεων·

[3] τοὺς δ᾽ ἐπείτε ἐσελθεῖν
ἐς τὸ τεῖχος,
ἀπαιτέειν Ἑλένην
τε καὶ τὰ χρήματα
τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος,
τῶν τε ἀδικημάτων δίκας αἰτέειν·
τοὺς δὲ Τευκροὺς
τὸν αὐτὸν λόγον λέγειν
τότε καὶ μετέπειτα,
καὶ ὀμνύντας καὶ ἀνωμοτί,
μὴ μὲν ἔχειν Ἑλένην
μηδὲ τὰ ἐπικαλεύμενα χρήματα,
ἀλλ᾽ εἶναι αὐτὰ πάντα
ἐν Αἰγύπτῳ,
καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν
τῶν Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει.

[4] οἱ δὲ Ἕλληνες
καταγελᾶσθαι δοκέοντες
ὑπ᾽ αὐτῶν
οὕτω δὴ ἐπολιόρκεον,
ἐς ὃ ἐξεῖλον·
ἑλοῦσι δὲ τὸ τεῖχος
ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη,
ἀλλὰ τὸν αὐτὸν λόγου
τῷ προτέρῳ ἐπυνθάνοντο,
οὕτω δὴ πιστεύσαντες
τῷ λόγῳ τῷ πρώτῳ
οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι
παρὰ Πρωτέα.

119. [1] ἀπικόμενος δὲ ὁ Μενέλεως
ἐς τὴν Αἴγυπτον
καὶ ἀναπλώσας
ἐς τὴν Μέμφιν,
εἴπας τὴν ἀληθείην τῶν πρηγμάτων,
καὶ ξεινίων ἤντησε μεγάλων
καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε,
πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα.

τυχὼν μέντοι τούτων
ἐγένετο Μενέλεως ἀνὴρ
ἄδικος ἐς Αἰγυπτίους.

ἀποπλέειν γὰρ ὁρμημένον
αὐτὸν ἶσχον ἄπλοιαι·

ἐπειδὴ δὲ τοῦτο
ἐπὶ πολλὸν
τοιοῦτον ἦν,
ἐπιτεχνᾶται πρῆγμα
οὐκ ὅσιον·

λαβὼν γὰρ δύο παιδία
ἀνδρῶν ἐπιχωρίων
ἔντομα σφέα ἐποίησε.

μετὰ δὲ
ὡς ἐπάιστος ἐγένετο
τοῦτο ἐργασμένος,
μισηθείς τε καὶ διωκόμενος
οἴχετο φεύγων
τῇσι νηυσὶ
ἐπὶ Λιβύης·